N.º 12. Cas. 8 n.º 67

# ΠΡΟΧΕΙΡΟΝ ΝΟΜΩΝ, ΤΟ ΛΕΓΟΜΕΝΟΝ Η ΕΞΑΒΙΒΛΟΣ, συναθροισθὲν πανταχόθεν κατ' ἐκλογὴν καὶ κατ' ἐπιτομὴν, ὑπὸ σω-πεδὴν, παρὰ τοῦ πανσεβάστου νομοφύλακος καὶ κριτοῦ Θεσσαλονίκης, ΚΩΝΣΤΑΝΤΙΝΟΥ τοῦ Ἁρμενοπούλου κριτῶν προκατάρχοντος.

# Epitome Iuris Ciuilis

QVAE LEGVM PROCHIRON ET Hexabiblos inscribitur, authore CONSTANTINO Harmenopulo Nomophylace & iudice Thessalonicensi, iam primùm in lucé ædita cura & studio Theodorici Adamæi Suallembergi.



BIBLIOTECA UNIVERSITARIA SALAMANCA

PARISIIS.
Apud Christianum Wechelum sub scuto Basiliensi, in vico Iacobæo: & sub Pegaso, in vico Bellouacensi. M. D. XL.

Cum priuilegio ad quinquennium.

# ΠΡΟΧΕΙΡΟΝ

ΝΟΜΩΝ, Η ΕΞΑΒΙΒΛΟΣ· ΗΓΟΥΝ ΠΕΡΙ νόμων καὶ δικαστικῆς καταστάσεως, καὶ ἐλευθεριῶν· ἔτι καὶ ἀρχικαταστάσεως, βιβλίον πρῶτον.

## Περὶ νόμων.

Κατὰ τοὺς παλαιοὺς χρόνους, ὅτε μοναρχίαι ἦσαν βασιλικαί, ἀλλὰ δὴ ὕπατοι τὰ τῶν Ῥωμαίων διεῖθυνον πράγματα· προεβάλλοντο γὰρ καθ' ἕκαστον χρόνον ὕπατοι δύο, καὶ ἀνεδέχοντο πάντα τὰ στρατιωτικά, τε πολιτικά. καὶ ἵνα σαφέστερον καὶ συντομώτερον εἴπωμεν· οὔτε νόμοι ἀκριβεῖς, οὔτε βασιλεῖς ἦσαν, οὔτε ἔγγραφοι νόμοι ἐν βιβλίοις τεταγμένοις ἀναγραφόμενοι. πρῶτος δὲ Ἄππιος Κλαύδιος μετὰ ἑτέρων ἀνδρῶν ἐκλεκτῶν δέκα τὸν ἀριθμὸν, συναγαγὼν ἅπαντας νόμους τοὺς παρὰ Ῥωμαίοις, ἢ ἀγράφως φερομένους, ἢ ἐγγράφως μὲν, ἀσυντάκτως δὲ, καὶ σποράδην κειμένους· ἦσαν γάρ τινα καὶ ἀτάκτως, καὶ οὐκ ἐν ὡρισμένοις τεθειμένα βιβλίοις. μετακομίσας καὶ ἀπὸ τῶν Ἀθηναίων, τοὺς νόμους τοῦ Δράκοντος καὶ τοῦ Σόλωνος· καὶ ἀπὸ τῶν ἄλλων, ἄλλους τινὰς, καὶ ἐκ πάντων ἐκλογὴν ποιησάμενος, τὸ δυοκαιδεκάδελτον· τουτέστιν εἰπεῖν δωδεκάβιβλον ἀπετέλεσεν. εἶτα ἐλθόντες ἄνδρες σοφοὶ ὧν ἦρχε Γάϊος, νομοθεσίας ἐτόρνευσαν, καὶ διαιρέσεις τῶν ἀγωγῶν προστεθείκασι. καὶ μετὰ τούτους, διάφοροι βασιλεῖς, διατάξεις ὡς συμφέρον ἐνόμιζον, συνεγράψαντο. ὕστερον ὁ βασιλεὺς Ἰουστινιανὸς, τὰς πολλὰς ἐκθέσεις τῶν νόμων, ἐν πεντήκοντα βιβλίοις διὰ σοφῶν ἀνδρῶν σπουδαίως συνήγαγεν· ἃ καὶ δίγεστα, ἤτοι πανδέκτην, ὡς πάντων δεκτικὰ τῶν νόμων ἐκάλεσεν. οὗτος ὁ Ἰουστινιανὸς, καὶ τοὺς τρεῖς ἐξέθετο κώδικας, τόν τε Γρηγοριανὸν, τὸν Ἑρμογενιανὸν, καὶ τὸν Τίτλ. α.

σαν γνώμην ὁ δικαστὴς ἐπιφέρει· ὅτι ἐάν τις ἁμάρτῃ τι πρὸς δικαστήν, καὶ θέλῃ προστιμῶσαι αὐτόν, ἐξουσίαν ἔχει ἐπεῖν δοῦναι αὐτὸν πρόστιμον, ὅσον θέλει καὶ δύναται· εἰ μήπου καὶ τὸ πρόστιμον ἀπὸ τοῦ νόμου ὥρισται τουτέστιν, εἰ μὴ φανερῶς ὁ νόμος εἶπεν, ὀφείλει πρόστιμον δοῦναι, ὁ τό δέ τι ἁμαρτήσας· ὅτι τι λέγω, λέγει ὁ νόμος, ὁ δοθεὶς ἀρραβών, εἰ μὲν παρὰ τοῦ δεδωκότος ἀνατρέπεται τὸ συνάλλαγμα, κερδαίνεται παρὰ τοῦ λαβόντος, ὡς πρόστιμον· εἰ δὲ παρὰ τοῦ λαβόντος, ἀποδίδοται εἰς τὸ διπλοῦν, τουτέστι τὸ δοθέν, καὶ ἄλλο τοσοῦτον. ἐπεὶ γοῦν τὸ πρόστιμον ὡρισμένον ἀπὸ τοῦ νόμου, ὁ δικαστὴς ἔσται ἐκκλητευσίμων, κατὰ τὴν ἀνωτέρω γραφεῖσαν παρατήρησιν.

τέλος τοῦ ἕκτου.

ανθολογια

ανθολογια

BIBLIOTECA UNIVERSITARIA
- SALAMANCA -